Ακαδημία Αθηνών / Academy of Athens

**χρῄζειν.** Χρειάζομαι/ἔχω ἀνάγκη, need, Δημόκριτος 198 *τὸ χ ρ ῇ ζ ο ν οἶδεν, ὁκόσον χ ρ ῄ ζ ε ι, ὁ δὲ χ ρ ῄ ζ ω ν οὐ γινώσκει* 223 *ὧν τὸ σκῆνος χ ρ ῄ ζ ε ι ... ὁκόσα δὲ μόχθου καὶ ταλαιπωρίης χ ρ ῄ ζ ε ι.* || Ἀρχύτας 1.31 *ὄκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χ ρ ῄ ζ ο μ έ ς τι μέγα φθέγξασθαι καὶ ὀξύ.*

**χρῆμα 1.** Χρῆμα/οἰκονομικὸ ἀγαθό, money/economic good, Ἡράκλειτος 90 *πυρός τε ἀνταμοιβὴ τὰ πάντα καὶ πῦρ ἁπάντων ὅκωσπερ χρυσοῦ χ ρ ή μ α τ α καὶ χ ρ η μ ά τ ω ν χρυσός* **2.** Πράγμα, thing, Μέλισσος 7(4) *οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγέον· οὐ γὰρ ἂν δύναιτο ἀεὶ εἶναι χ ρ ῆ μ α ἀλγέον* Ἀναξαγόρας 1 *ὁμοῦ πάντα χ ρ ή μ α τ α ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν* 4.3-15-21 *τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις καὶ σπέρματα πάντων χ ρ η μ ά τ ω ν καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονὰς ... πρὶν δὲ ἀποκριθῆναι ταῦτα πάντων ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία· ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χ ρ η μ ά τ ω ν, τοῦ τε διεροῦ καὶ τοῦ ξηροῦ καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ τοῦ λαμπροῦ καὶ τοῦ ζοφεροῦ ... τούτων δὲ οὕτως ἐχόντων ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι πάντα χ ρ ή μ α τ α* 9.4-5 *ἡ δὲ ταχυτὴς αὐτῶν οὐδενὶ ἔοικε χ ρ ή μ α τ ι τὴν ταχυτῆτα τῶν νῦν ἐόντων χ ρ η μ ά τ ω ν ἐν ἀνθρώποις, ἀλλὰ πάντως πολλαπλασίως ταχύ ἐστι* 12.2-4-7-9 *τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χ ρ ή μ α τ ι, ἀλλὰ μόνος αὐτὸς ἐπ' ἑωυτοῦ ἐστιν. εἰ μὴ γὰρ ἐφ' ἑαυτοῦ ἦν, ἀλλά τεῳ ἐμέμεικτο ἄλλῳ, μετεῖχεν ἂν ἁπάντων χ ρ η μ ά τ ω ν, εἰ ἐμέμεικτό τεῳ· ἐν παντὶ γὰρ παντὸς μοῖρα ἔνεστιν, ὥσπερ ἐν τοῖς πρόσθεν μοι λέλεκται· καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ συμμεμειγμένα, ὥστε μηδενὸς χ ρ ή μ α τ ο ς κρατεῖν ὁμοίως ὡς καὶ μόνον ἐόντα ἐφ' ἑαυτοῦ. ἔστι γὰρ λεπτότατόν τε πάντων χ ρ η μ ά τ ω ν καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον* 17.2-3 *οὐδὲν γὰρ χ ρ ῆ μ α γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χ ρ η μ ά τ ω ν συμμίσγεταί τε καὶ διακρίνεται* Λεύκιππος 2 *οὐδὲν χ ρ ῆ μ α μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης.* || Ἐμπεδοκλῆς 115.1 *ἔστιν Ἀνάγκης χ ρ ῆ μ α* **3.** Χρήματα/περιουσία,

Ακαδημία Αθηνών / Academy of Athens

possessions/property, Δημόκριτος 40 οὔτε σώμασιν οὔτε χ ρ ή-μ α σ ι ν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ πολυφροσύνῃ 50 ὁ χ ρ η μ ά τ ω ν παντελῶς ἥσσων οὐκ ἄν ποτε εἴη δίκαιος 78 χ ρ ή μ α τ α πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον 219 χ ρ η μ ά τ ω ν ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη 222 ἡ τέκνοις ἄγαν χ ρ η-μ ά τ ω ν συναγωγὴ πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐλέγχουσα 279.2-4 τοῖς παισὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χ ρ ή μ α τ α, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες· ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ χ ρ ή μ α τ α καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν 280 ἔξεστιν... παιδεῦσαί τε τοὺς παῖδας ... καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χ ρ ή μ α σ ι καὶ τοῖς σώμασιν αὐτῶν 281 ὥσπερ ἐν [μὲν] τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χ ρ ή μ α σ ι 282 χ ρ η μ ά τ ω ν χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνὴ (?) 286 εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χ ρ ή μ α-σ ι ν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος **4.** Πρᾶγμα, thing, Δημόκριτος 182 τὰ μὲν καλὰ χ ρ ή μ α τ α τοῖς πόνοις ἡ μάθησις ἐξεργάζεται.

**χρήμη.** Χρεία/ἀνάγκη, need/needfulness, Δημόκριτος 277 ὅτεῳ χ ρ ή μ η τεά ἐστι παῖδα ποιήσασθαι.

**χρῆναι 1.** Πρέπει/ταιριάζει, it must/it fits, Ξενοφάνης 1.13 χ ρ ὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας 22.1 πὰρ πυρὶ χ ρ ὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ Δημόκριτος 192 ἔστι ῥάδιον μὲν ἐπαινεῖν ἃ μὴ χ ρ ὴ καὶ ψέγειν 265.4 ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χ ρ ὴ ἐπαινεῖσθαι. || **χρεὼν ἐστί.** Διογένης 1.2 δοκεῖ μοι χ ρ ε ὼ ν ε ἶ ν α ι **2.** Πρέπει/ἐπιβάλλεται, it must/it is required, Ἡράκλειτος 35 χ ρ ὴ γὰρ εὖ μάλα πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι 80 εἰδέναι δὲ χ ρ ὴ τὸν πόλεμον ἐόντα ξυνὸν 114 ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χ ρ ὴ τῷ ξυνῷ πάντων Δημόκριτος 3 τὸν εὐθυμεῖσθαι μέλλοντα χ ρ ὴ μὴ πολλὰ πρήσσειν 6 γιγνώσκειν τε χ ρ ὴ ... ἄνθρωπον τῷδε τῷ κανόνι, ὅτι ἐτεῆς ἀπήλλακται 65 πολυνοΐην, οὐ πολυμαθίην ἀσκέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ